γήν, οὐδὲ πολλοῦ δεῖ, νέμοντα δὲ τὰ πρέποντα τῇ γεννησαμένῃ γέρα, ὅμως τῆς περὶ αὐτὴν θεραπείας τὴν τῶν ἀνθρώπων προτιμᾷν σωτηρίαν, καὶ τὴν εἰς τοῦτο τὸ τέλος φέρουσαν διδασκαλίαν, δι' οὓς καὶ μήτηρ, καὶ τόκος, καὶ τῶν πατρῴων κόλπων ἀκένωτος κένωσις, καὶ ἐν ἀνθρώποις ἀναστροφὴ καὶ πολιτεία, καὶ σταυρὸς ἑκούσιος, καὶ κακούργων θάνατος, εἶτα καὶ ταφή, καὶ ἀνάστασις. Ἐπισχύσαι δ' ἂν πειραθείη τὴν ἐπίνοιαν, καὶ ὅτι περ οὐδ' ἦν ἄλλως πιάττειν τὸν Ἰησοῦν, εἰμὴ κατὰ ταύτην τὴν ἀκολουθίαν καὶ τὸν εἱρμὸν τῆς προνοίας διετίθετο· ἐδίδασκε γὰρ ὁ Σωτὴρ μετὰ τῶν ἄλλων σωτηρίων μαθημάτων, καὶ τὸ μὴ προτιμᾷν πατέρα, ἢ μητέρα, ἢ γυναῖκα τῆς αὐτοῦ ψυχωφελοῦς διδασκαλίας, καὶ τῆς πρὸς αὐτὸν ἀπονεύσεως· «ὅστις γάρ, φησίν, οὐκ ἐγκαταλείψει πατέρα, ἢ μητέρα, καὶ ἑξῆς, οὐκ ἔστι μου ἄξιος» 1), τουτέστιν, ὃς οὐ προτιμήσει τὴν ἐμὴν καὶ σώζουσαν παραίνεσιν καὶ νουθεσίαν καὶ τὴν εἰς ἐμὲ στοργήν, οὗτος ἐξέπεσε μὲν τῶν ἀτελευτήτων ἀγαθῶν, ἐξέπεσε δὲ τῆς μακαριότητος, ἧς οἱ προτιμήσαντες τῶν συγγενικῶν θεσμῶν τοὺς ἐμοὺς νόμους καὶ τὸν θεῖον ἔρωτα διὰ παντὸς ἀπολαύουσι· ταύτης δὲ τῆς ἐντολῆς τὸ ῥᾷον καὶ εὐκατόρθωτον παριστῶν ὁ Σωτήρ, αὐτὸς ταύτην μετέρχεται πρῶτος, καὶ τὴν εἰς τοὺς ἀκροατὰς διδασκαλίαν τῆς μητρικῆς προκρίνει χρείας καὶ χάριτος, μονονουχὶ λέγων, ὅτι, καθάπερ ἐγὼ διδάσκων ὑμᾶς, καὶ περὶ τὴν ὑμῶν σωτηρίαν ἀσχολούμενος, τὴν μητρικὴν ἐθέμην δευτέραν θεραπείαν, τὴν ὑμετέραν σωτηρίαν προελόμενος, οὕτω καὶ 2) ὑμᾶς χρὴ ἁπάσης τῆς διὰ τῶν σωματικῶν δεσμῶν προϊούσης σχέσεώς τε καὶ συμπαθείας τὴν ὑμῶν αὐτῶν σωτηρίαν ἀνταλλάττεσθαι, καὶ τῶν ἐμῶν διδαγμάτων καὶ νόμων τὴν φυλακὴν καὶ συντήρησιν. Ταύτῃ τοι καὶ τὸν αἰτησάμενον ἀπελθεῖν ἐπὶ τὸ θάψαι τὸν πατέρα, οὐκ ἐπέτρεψεν 3), οὐ καταφρονεῖν πατρός 4), μή τι γένηται 5), καὶ μάλιστα τῆς ὁσίας, οὐδὲ τοῦ πατρὸς ἐξαρνεῖσθαι τὴν σχέσιν, καὶ τὸν πόθον ἐνυβρίζειν ἀφορμὰς διδούς, ἀλλὰ πανταχοῦ παραινῶν τὴν ψυχικὴν προκρίνειν σωτηρίαν τῆς σωματικῆς ἁπάσης καὶ συναφείας καὶ διαθέσεως. Ταῦτα μὲν οὖν ἴσως ἄν τις, ὥσπερ εἴρηται, δοκῶν τῇ μητρὶ τῶν προνομίων τῆς τιμῆς οὐκ ἀποστερεῖν, ἀλλ' ἐν τῷ ἴσῳ συντηρεῖν, διέλθοι πραγματευόμενος, καὶ τὴν προσήκουσαν αἰδῶ συνδιασώζων καὶ σεβασμιότητα, καί τοι τὸ τῆς συγκρίσεως τὸν τρόπον μὲν ἑρμηνεύει, καθ' ὃν πρὸς τὴν ἐλάττω τάξιν κατέβη τὸ συγκρινόμενον, οὐκ ἀπαλλάττει δὲ τῆς ἐλαττώσεως.

§. γ'. Οἶδα δέ τινας τῶν μακαρίων ἡμῶν πατέρων, οὓς ἐν πολλοῖς πολλάκις θαυμάσας καὶ ἀποδεχόμενος, οὐκ ἂν ἐν ταύτῃ τῇ γνώμῃ θαυμάσαιμι, ἐπ' ἀθετήσει τῆς δυσσεβούσης δόξης εἰς τοιαύτην καταβεβηκότας διάνοιαν· ὡς, ἐπείπερ ἡ μήτηρ τοῦ Ἰησοῦ ἀνθρώπινόν τι παθοῦσα, καὶ τῷ κενῷ δοξάσματι, οἷα φύσις γυναικός, ἐπαρθεῖσα 6), ἐπεσεμνύνετο μὲν τῷ παιδί, ἐζήτει δὲ παῤῥησιασθῆναι, καὶ διαχυθῆναι τῷ ἀγαλλιάματι, ὅτι τηλικούτου παιδὸς ἐχρημάτισε μήτηρ, καὶ διὰ τοῦτο προσῄει, διδάσκοντος τοῦ υἱοῦ, καὶ ὡς εἰκός, τῇ διδασκαλίᾳ δοξαζομένου, συνδοξασθῆναι, καὶ τὸν ἔπαινον συμμερίσασθαι· διὸ καὶ ὁ Σωτήρ, ὁ καὶ τοὺς ἄλλους ἀποκαθαίρων τῶν ψυχικῶν παθῶν, καὶ τὴν μητέρα τῶν τοιούτων ἀπαλλάττειν θέλων ἐλαττωμάτων, τάξιν ἐπιτιμήσεως ἐπέχουσαν ἀφῆκε τὴν λέγουσαν φωνήν, «τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ ἀδελφοί μου»; Ἀλλ' οἷς μὲν ἐπῆλθε ταῦτα εἰπεῖν, καί γε εἴρηται. Ἡ δὲ τῆς ἀληθείας συνεξέτασις, πρῶτον μὲν οὐχ ὁρᾷ τὴν μητέρα οὐδὲν τοιοῦτον ἐπιδεικνυμένην, οὐδὲ σοβαρὸν φέρουσαν φρόνημα· οὐδὲ γὰρ οὐδὲ διδάσκοντος, αὐτεπάγγελτος ἐπεχωρίασεν, οὐδ' εἰς τὸ μέσον ἐπῆλθε τοῦ συλλόγου, οὐδὲ τὸν διδασκαλικὸν λόγον περιέκοψεν, οὐδ' εἶπεν οὐδὲν ὑψηλόν, οὐδὲ μεγάλαυχον, ἀλλ' ἔξω πανευλαβῶς ἱσταμένη, τὴν παρουσίαν μόνον ἐμήνυσεν, ἢ οὐδὲ τοῦτο λόγῳ ἐμήνυσεν, ἀλλ' ἀπαγγέλλειν ἐφιλοσόφει τὴν θέαν 7) τὸ μήνυμα· ὃ πῶς ἂν εἴη φιλοτιμουμένης τὸ δοξάζεσθαι, πῶς δὲ ζητούσης σεμνύνεσθαι καὶ τῇ τοῦ υἱοῦ ἐπιγαυροῦσθαι μεγαλειότητι; τί δ' ἂν ἕτερον καὶ θεράπων ἔπραξε, χρείας αὐτὸν ἐπὶ τὸν Κύριον παραγενέσθαι καλούσης; Οὔκουν, οὐκ ἦν ἐπιτίμησις ὁ λόγος τοῦ Ἰησοῦ τῇ μητρί, οὐδέ τις τρόπος ἀνακαλούμενος διὰ μέμψεως τὸ ἐλάττωμα· οὐ γὰρ ἦν ἐλάττωμα οὐδαμοῦ· ἀλλ' ἰουδαϊκὸν ἐπεστόμιζε τὸ εἰρημένον χλεύασμα· τῶν γὰρ κακοσχόλων τε καὶ ἀγνωμόνων Ἰουδαίων νῦν μὲν λεγόντων ἐπὶ διαβολῇ καὶ ὕβρει τοῦ Σωτῆρος, «οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός»; νῦν δὲ «οὐχ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ παρ' ἡμῖν»; 8) καὶ πάλιν «τοῦτον δὲ οἴδαμεν πόθεν ἐστίν» 9), ἐπεὶ 10) καὶ τότε διδάσκοντος, καὶ τὴν ψυχικὴν σωτηρίαν εἰσηγουμένου τῷ πλήθει, διεφθόνουν τε καὶ διεβάσκαινον, καὶ πρὸς διαβολὰς ἀνεφλέγοντο, οὐκ ἦν δὲ πόρος ὅλως διαβολῆς, ἐπὶ τὴν συνήθη λοιδορίαν καταφεύγουσι, καὶ τὴν μητέρα πάλιν καὶ τοὺς ἀδελφοὺς εἰς ψόγον καὶ ἐξουθένημα προκομίζουσι, μονονουχὶ λέγοντες, τίνα διδάσκεις; τίνα δὲ σαυτὸν νομίζεις 11); οὐχὶ γυναικὸς πένητος ὑπάρχεις υἱός, καὶ οἱ ἀδελφοί σου οὐδὲν διαφέρουσιν, ὧν ὁ βίος διὰ χειρῶν; ἰδοὺ οὗτοι ἑστήκασιν ἔξω ζητοῦντές σε, ἔα τὸ διδάσκειν, καὶ πρὸς τοὺς συγγενεῖς ἀπότρεχε, τὴν ἴσην ἐκείνοις μετιὼν πολιτείαν, ἀλλὰ μὴ πρὸς τὸ διδασκαλικὸν ἀναβαίνων ἀξίωμα.

1) Ματθ. ι, 37. — 2) Λείπει ὁ καὶ ΒΜ. — 3) Ματθ. η, 21. — 4) Μητρὸς ΒΜ· ἴσ. διὰ τὸ ἑπόμενον ὁσίας, ἐκληφθὲν ὡς ἐπιθέτον τῆς μητρός, ἀλλὰ τὸ ὁσία ἐνταῦθα οὐσιαστικόν, σημαῖνον τὴν κηδείαν, τὸν ἐνταφιασμόν, καὶ συμφωνεῖ πρὸς τὸ θάψαι τοῦ ἀνωτέρω ῥητοῦ. — 5) Γένοιτο ΒΜ. — 6) Τὰ ἀπὸ τοῦ «καὶ τῷ κενῷ—ἐπαρθεῖσα» λείπουσιν ἐκ τοῦ ΒΜ. — 7) Ἴσ. γρ. τῇ θέᾳ. — 8) Ματθ. ιγ, 55. — 9) Ἰωάν. ζ, 37. — 10) Ἔπειτα ΒΜ. — 11) Κομίζεις ΒΜ.

§. δ'. Ταῦτ' οὖν ἐκείνων, ὡς ἔθος, πονηρευομένων, ὁ Σωτὴρ ἀντιτιθεὶς καὶ ἀντεπεξάγων τῇ μακροθυμίᾳ καὶ πρᾳότητι, τοσοῦτον, φησίν, ἀπέχω τοῦ ἐπαισχύνεσθαι μητρὶ καὶ τοῖς ἀδελφοῖς, ὅτι οὐ μόνον ἣν ἡ φύσις ἔδωκε, καὶ οὓς εἰς γένος ἡ ὑπόληψις ἔθετο, οὐκ ἀποστρέφομαι, οὐδὲ αἰσχύνην ἡγοῦμαι, οὐδὲ ὄνειδος, ἀλλὰ καὶ τούτους ἅπαντας, οὓς ὁρᾶτε τῶν ἱερῶν λόγων καὶ σωτηρίων ὄντας ἀκροατάς, καὶ πατέρας καὶ ἀδελφοὺς οὐκ ἀπαξιῶ κατονομάζειν, τὸ πατρικὸν μόνον θέλημα ποιοῦντας, κἂν μήτε τῇ φύσει, μήτε τῇ ὑπολήψει τὰς εἰρημένας φιλοστόργους σχέσεις ἔχουσι βοηθουμένας. Τίς οὖν ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου; τί μοι τὰς κλήσεις ταύτας εἰς ὕβριν καὶ ὄνειδος μεταπλάττεις; ἐγὼ τοσοῦτον ἐπαισχύνεσθαι τούτοις διέστηκα, ὥστε καὶ τοὺς ἀληθινοὺς μαθητὰς ταῖς κλήσεσι ταύταις καὶ σχέσεσιν ἐμαυτῷ συνάπτειν προειλόμην. Καὶ ἔστιν ἐντεῦθεν συνορᾶν, ὡς οὐ μόνον οὐδὲν ἀγνωμοσύνης οὐδὲ παροράσεως μητρικῆς τὰ προενηνεγμένα ῥήματα ἦν, ἀλλὰ καὶ τὴν μεγίστην αὐτῇ καὶ πρέπουσαν συγκατεσκεύαζε τιμήν· τοσοῦτον γὰρ αὐτῇ τὴν σεβασμιότητα καὶ τὸ γέρας ἀπονέμει καὶ τὸ δίκαιον τῆς στοργῆς, ὥστε καὶ τοὺς ἐκτελοῦντας τὸ πατρικὸν θέλημα, καὶ πρὸς τοσοῦτον ἐπαρθέντας ὕψος ἀρετῆς, ὡς εἰς μέγα τι δόξης καὶ ἐξαίρετον ἀξίωμα 1), εἰς τὴν μητρικὴν σχέσιν καὶ κλῆσιν τούτους ἀνάγειν, δι' ἣν καὶ ἡ τῶν ἀδελφῶν νῦν τιμῆς ἀπολαύει προσηγορία· ποῦ γὰρ ἄν, ἣν ἔκρινεν, εἴπερ ἔκρινεν, ἀποσκευάζεσθαι σχέσιν, ποῦ δ' ἄν, ἣν ἐδικαίου, εἴπερ ἐδικαίου, παραγράφεσθαι κλῆσιν, ταύτην ὡς κορωνίδα καὶ κεφάλαιον τῶν ἀγαθῶν τοῖς τῶν οὐρανῶν βασιλείας κληρονόμοις ἐπιφέρειν τε καὶ χαρίζεσθαι χώραν εἶχεν; Ἐμφανέστατον οὖν, οἶμαι, καθ' ἃ καὶ προείρηται, γέγονεν, ὡς οὐ μόνον οὐκ ἔστιν οὐδέν 2) εἰς ὕβριν τῆς μητρικῆς στοργῆς καὶ αἰδοῦς τὸ «τίς ἐστιν ἡ μήτηρ μου» καὶ τὰ ἑξῆς εἰρημένα, ἀλλὰ καὶ τὴν πρέπουσαν αὐτῇ πανταχόθεν συνάγει δόξαν καὶ εὐημερίαν.

§. έ. Οὕτω δ' ἂν περιτραπείη τοῖς ἀνοήτοις πρὸς τοὐναντίον, ἢ ἐφρυάττοντο, πρὸς δὲ τὴν εὐσεβῆ καὶ οἰκείαν ἀπευθύνοιτο θεοσοφίαν, καὶ τὸ «τί ἐμοὶ καὶ σοὶ γύναι; οὔπω ἥκει ἡ ὥρα μου» 3)· εἴ τις γὰρ ἐπιμελῶς, ἐφ' οἷς ἐῤῥήθη, ταῦτα διαμελετῴη, τῆς θείας χάριτος ἐνεργούσης τε καὶ τῇ μελέτῃ συναντιλαμβανομένης, εὑρήσει τῇ μητρὶ μᾶλλον δόξαν περιάπτοντα καὶ τιμήν, ἢ παρόρασιν ὅλως ἀφιέντα· καὶ γὰρ ἐπὶ τοῖς θαύμασιν οὐδὲν ἦν κοινὸν τῇ μητρὶ καὶ τῷ υἱῷ· ἐπεὶ καὶ θεότητος μὲν ἦν τὸ θαυματουργεῖν καθ' ἑαυτήν, ἀνθρωπίνης δὲ φύσεως οὐκέτι καθ' ἑαυτήν, ἀλλὰ διὰ τὸν προσειληφότα λόγον. Πλὴν καὶ ἐφ' οἷς κοινὸν οὐδὲν ἦν μητρὶ καὶ υἱῷ, ὅρα, πῶς τὴν ὑπερβολὴν τῆς τιμῆς καὶ ἐν τῇ διαφορᾷ συνιστᾷ· θαυματουργεῖν γὰρ τῆς μητρὸς ἀξιούσης, ἐπισημήνας μὴ εἶναι τοῦτο κοινὸν αὐτῆς τε καὶ ἑαυτοῦ, καὶ τὸν καιρὸν μὴ παρεῖναι προσθείς, καθ' ὃν ἔδει τὰς θεοσημείας ἐνεργεῖν, τὴν πρὸς τὴν μητέρα αἰδῶ καὶ τιμὴν ἔδειξε καὶ τοῦ καιροῦ καὶ τῆς διαλλαττούσης δυνάμεως ἐπικρατεστέραν· ὥστε τοσοῦτον ἀποδεῖ 4) τὰ εἰρημένα τῆς μητρικῆς δόξης ἔνδειαν ποιεῖν, ὡς καὶ πολυπλασίονα ταύτην ἀποτελεῖν· τὸ γὰρ καὶ καιροῦ κυριωτέραν ἡγεῖσθαι καὶ τῆς ἐν θαύμασιν ἀκολουθίας ὑπερβαίνουσαν τοὺς νόμους, εἶτα πράττειν τὸ παρ' αὐτῆς προτεινόμενον, πόσῳ πολλαπλασίονα τὴν τιμὴν καὶ τὴν αἰδῶ κατασκευάζει, ἢ εἰ μὴ ταῦτα εἴρητό τε καὶ ἐπεδείκνυτο; μονονουχὶ γάρ, δι' ὧν ἐφθέγγετό τε καὶ ἔπραττεν, ἐπιδείκνυται λέγων· ἡ κοινωνία μὲν τῆς φύσεως τὴν 5) κοινωνίαν οὐ συνεισάγει τοῦ θαυματουργεῖν, τί ἐμοὶ καὶ σοὶ γύναι; οὐδὲ ὁ καιρὸς πάρεστιν ὁ ἐπιτήδειος τῶν θεουργιῶν· πλὴν ἵνα γνῷς σύ τε καὶ ὅσους ὁρᾶν καὶ ἀκούειν ἡ χρεία συνήγαγεν, ὅτι καὶ τὰ μητρικά σοι δίκαια ἀκαινοτόμητα διασώζω, καὶ αὐτὸς ὁ νόμον θέμενός εἰμι μητρὶ τοὺς παῖδας τὴν σεβασμιότητα νέμειν, μᾶλλον δέ, ὅτι καὶ τῶν ἐν τῇ φύσει θεωρουμένων εἱρμῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ τὴν σὴν αἰδῶ καὶ ὑπακοὴν καὶ δόξαν ἔμπροσθεν ποιοῦμαι, ἰδοὺ μεταβάλλω τὸ ὕδωρ εἰς οἶνον, τῆς σῆς ἀξιώσεως ἐκεῖνα δεύτερα ποιησάμενος 6). Οὐδὲ γὰρ κατὰ τὸν ἴσον τρόπον ἐνταῦθα εἴρηται τὸ «τί ἐμοὶ καὶ σοί;» καθ' ὃν εἴρηται πρὸς τὸν ἐπιζητοῦντα διαιτητὴν αὐτῷ τοῦ πατρικοῦ κλήρου χρηματίσαι· ἐκεῖ μὲν γὰρ εἰπὼν 7) «τί ἐμοὶ καὶ σοί; καὶ τίς με κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ὑμᾶς;» 8) τῇ πράξει τὴν ἐν τῷ λόγῳ παραίτησιν ἐβεβαίωσε, καὶ δικαστὴς ἀμφισβητήσεως χαμαιζήλου καὶ προσύλου κέρδους οὐχ εἵλετο γενέσθαι, ἀλλὰ τὴν ἐν τοῖς ῥήμασιν ἀπαγόρευσιν ἡ διὰ τῶν ἔργων παραγραφὴ διεδέξατο· ἐνταῦθα δὲ τῷ σχήματι χρησάμενος τῆς φωνῆς, τὴν μητρικὴν οὐκ ἀπεπέμψατο περὶ τῷ θαύματι γνώμην, οὐδὲ τῆς αἰτήσεως εἰσηγήσατο τὴν ἀθέτησιν, ἀλλ' ἐν τῇ κοινωνίᾳ τῆς φύσεως τὴν διαφορὰν διδαξάμενος τῶν θεουργημάτων, τὸ ἔργον σύνδρομον ἔδειξε τῇ ἀξιώσει, σαφῶς, ὡς εἴρηται πολλάκις, παριστῶν καὶ τῆς ἐπιτηδειότητος τοῦ καιροῦ καὶ τῆς ἐν θαύμασιν ἰδιότητος τὴν μητρικὴν στοργὴν καὶ τὸ κλέος μεῖζον ἰσχύειν παρ' αὐτῷ.

1) Λείπει τὸ ἀξίωμα ἐκ τοῦ ΒΜ. — 2) Ἡμετ. διόρθ. ἀντὶ τοῦ «οὐδὲ» ΑΡ. καὶ ΒΜ. — 3) Ἰωάν. β, 5. — 4) Λείπει τὸ ἀποδεῖ ἐν ΒΜ. — 5) Λείπει τὸ τὴν ἐν ΒΜ. — 6) Ἡμετ. διορθ. τὸ δὲ ΑΡ. καὶ ΒΜ. ποιησαμένης. — 7) Ἐκεῖ γὰρ εἶπεν ΒΜ. — 8) Λουκ. ιβ, 14. ὅπου ἡ ῥῆσις κεῖται χωρὶς τοῦ «τί ἐμοὶ καὶ σοί» ἐν ταῖς κοιναῖς ἐκδόσεσι· καὶ ἴσ. προστέθειται ἐπεξηγηματικῶς, κατὰ νόημα σύμφωνον πρὸς τὸ ἀνωτέρω. Ἔτι παρὰ τῷ Λουκᾷ κεῖται «δικαστὴν (ἄλλ. κριτὴν) καὶ μεριστὴν» ἀντὶ τοῦ «ἄρχοντα καὶ δικαστήν». Τοῦτο δ' ἀναγινώσκεται ἐν Ἐξόδ. β, 14. καὶ ἔν τισι χειρογρ. τοῦ Λουκᾶ (Βλ. Griesbach Nov. Test. T. 1. p. 348).